ἀρθρ... ϛυχ.

ὃν θεῖον ἐμφύσημα καὶ ζωῆς σθένος
τῷ Πρωτοπλάστῳ πρόσθεν ἐμπνευσθὲν μόνῳ,
κἀκ τοῦδε πᾶσιν ἐνσπαρὲν τοῦδ᾽ ἐκγόνοις·
πνεῦμ᾽ ἀτρεκῶς ἄϋλον, ἄφθιτον σθένος (ξ)·
τοιᾶς δὲ γὰρ πρῶτ᾽ οὐσίας προὐλήλυθε·
ὃ δὴ πρόεισι ξὺν γονῇ γεννητόρων (ο),
τοῦ τῶν δ᾽ ἀποῤῥὼξ οἷα κἀποσπάσματι,
καὶ τήνδ᾽ ἴσως τίθησιν εὐγονωτέραν (π)·
ξὺν ᾗγε μήτραν εἰσδὺν ὀργῶσαν πάνυ,
ὡσεὶ ξὺν αὔρα θερμοθελκτικοπνόῳ,
τὴν δ᾽ ἔγκυον δρᾷ ζωοπλαστικῷ σθένει,
μήτρας φερούσης ζῶσαν ὕλην ἐξίσης·
κίνησιν ἐμβρύῳ δὲ τὴν πρώτην νέμον,
τὴν καὶ ξυνεργὸν τοῦδ᾽ ὅλῃ διαπλάσει,
αἴσθησιν εἶτα καὶ πρόσεξιν ἐμφύει
τεχθέντι τῷδε κἀντελῶς ἔχοντί πως.
χρόνῳ θυραίων δ᾽ αὖ δι᾽ αἰσθητηρίων
αὐδήν τ᾽ ἔναρθρον αἵρεσίν τε καὶ κρίσιν,
λόγον τε καὶ τἄλλ᾽ ἃ πρὸς ἐννοίας φέρει (ρ)
τούτῳ πορίζει, πάντα γ᾽ αἰσθητηρίοις
τοῦδ᾽ ἐντυποῦν τοῖς ἔνδον ὡς κοινῷ γ᾽, ὅσα
ἔξωθεν ἔσχεν· οὑγεμὼν ψυχὴ μόνη
πάσας τε κἀεὶ σώματος δρᾷ ᾽νεργίας·

πά-

---

(ξ) *Γαλην. Περὶ ἀρχῶν καὶ σαρκῶν α.* (ο) περὶ διαίτ. *Α. ζ.* η. ιη. κβ. (π) περὶ κυημ. διαπλασ. κβ. (ρ) περὶ διαίτ. *Α.* κθ. προῤῥητ. *Β.* κ.